www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## Εἰς τὸν Ὅσιον Πατέρα ἡμῶν ΠΑΝΑΓΗ

Μετὰ τὸ «Εὐλογητὸς» τὸ Κύριε εἰσάκουσον τῆς προσευχῆς μου...

Καὶ εὐθὺς τό, Θεὸς Κύριος, καὶ τὰ παρόντα τροπάρια. Ἦχος δ′

«Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν»

Δεῦτε πιστοὶ μετὰ δακρύων προσδράμωμεν, οἱ ἐν ποικίλαις ἀσθενείαις θλιβόμενοι, τοῦ θεοφόρου Παναγῆ τῷ θείῳ Ναῷ καὶ πρασαναπέμψωμεν πρὸς αὐτὸν παρακλήσεις ἵνα ἡμᾶς ρύσηται συμφορῶν καὶ κινδύνων ἀσπαζομένους τούτου εὐλαβῶς τὰ πανευώδη καὶ πάνσεπτα λείψανα.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον

Χριστιανῶν καταφυγὴ καὶ προστάτις καὶ σωτηρία ἀσθενούντων ὑπάρχεις καὶ πρὸς Θεὸν μεσίτρια ἡμῶν· Ὅθεν δυσωποῦμεν Σε Παναγία Παρθένε, Τοῦτον ἱκετεύουσα ἐκτενῶς μὴ ἐλλείπης, πάσης ἀνάγκης ρύσασθαι ἡμᾶς, τοὺς σὲ τιμῶντας σεμνὴ Μητροπάρθενε.

Ὁ Ν′ Ψαλμός, καὶ ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α′ Ἦχος πλ. δ′ «Ὑγρὰν διοδεύσας»

Παμμάκαρ πανόλβιε Παναγῆ, σὲ παρακαλοῦμεν καθικέτευε πρὸς Θεόν, ρυσθῆναι ἐκ νόσων πολυτρόπων τοὺς αἰτουμένους τὴν χάριν σου Ὅσιε.

Ὕψωσον τὰς χεῖρας σου πρὸς Θεόν, ἔχων παρρησίαν ἀκαταίσχυντον πρὸς Αὐτόν, καὶ πλήρωσον πάντων τὰς αἰτήσεις, σαῖς προσευχαῖς Παναγῆ θεοδόξαστε.

www.tezaurliturgic.ro

Τελέσας τὸν βίον ἀγγελικῶς, ποικίλων χαρίτων ἠξιώθης παρὰ Θεοῦ, διὸ Παναγῆ σὲ δυσωποῦμεν ἡμᾶς βιῶσαι σεμνῶς καταξίωσον.

Θεοτοκίον.

Ὡς θρόνος πυρίμορφος καὶ τερπνός, φέρουσα ἐν κόλποις Θεοτόκε τὸν σὸν Υἱόν, Αὐτὸν ἱκετεύουσα μὴ παύσῃ πάσης ἀνάγκης ἡμᾶς ἐκλυτρούσασθαι.

Ὠδὴ γ' «Οὐρανίας ἁψῖδος»

Οὐρανίων χαρίτων, ἀξιωθεὶς Ὅσιε, ζήσας Παναγῆ θεοφόρε βίον ἰσάγγελον, καὶ τῆς ἀλήκτου χαρᾶς ἐπαπολαύων ἀξίως, ταύτης καταξίωσον ἡμᾶς πρεσβείαις σου.

Προσευχαῖς καὶ νηστείαις τὸ τῆς σαρκὸς φρόνημα, πάτερ Παναγῆ κατευνάσας οἶκος γεγένησαι τοῦ Τρισηλίου φωτὸς οὗ ἐμφορούμενος μάκαρ τὰς ψυχὰς καταύγασον τῶν δυσωπούντων σε.

Κεφαλλήνων ἡ νῆσος πανευκλεῶς γάννυται, σὺν τῷ Γερασίμῳ πλουτοῦσα τὸν θεῖον Ἄνθιμον καὶ Παναγῆν τὸν κλεινόν, ὧν ταῖς εὐχαῖς ἐκλυτροῦται, ἐκ παντοίων θλίψεων καὶ περιστάσεων.

Θεοτοκίον

Τοῦ ἀγγέλου τὸ χαῖρε χαρμονικῶς Δέσποινα σοὶ ἀναβοῶμεν ἐν πίστει ὅτι ἐκύησας τὸν Βασιλέα Χριστόν, Ὅν δυσωποῦσα μὴ παύσῃ, ρῦσαι τοὺς τιμῶντας σε πάσης αἱρέσεως.

www.tezaurliturgic.ro



Διάσωσον ἀπὸ κινδύνων, τοὺς δούλους σου θεοφόρε τοὺς ἐν πίστει εἰλικρινῆ πρὸς σὲ καταφεύγοντας καὶ πλήρωσον Παναγῆ τὰς αἰτήσεις.

Πανύμνητε εὐλογημένη καὶ ἄχραντε Παναγία, τὰς δεήσεις σῶν ἱκετῶν Κυρίῳ προσάγαγε καὶ αἴτησαι εἰρηνεῦσαι τὸν κόσμον.

Αἴτησις παρὰ τοῦ Ἱερέως καὶ εἶτα τὸ παρὸν

Κάθισμα, ἦχος β' «Τὰ ἄνω ζητῶν»

Θεοῦ λειτουργὲ καὶ μῦστα ἱερώτατε, σοφὲ Παναγῆ θερμῶς δυσωποῦμεν σε, πειρασμῶν καὶ θλίψεων καὶ παντοίων νόσων ἀπάλλαξον καὶ βασιλείας τῆς τῶν οὐρανῶν τυχεῖν ἡμᾶς εὐχαῖς σου ἀξίωσον.

Ὠδὴ δ' «Εἰσακήκοα Κύριε»

Παναγῆ πανσεβάσμιε, σαῖς πανευπροσδέκτοις εὐχαῖς πρὸς Κύριον σαλευθεῖσαν τὴν καρδίαν μου, στήριξον ἐν πέτρᾳ Χριστοῦ τῆς πίστεως.

Η σορὸς τῶν λειψάνων σου, ρεῖθρα ἰαμάτων πηγάζει πάντοτε, τοῖς ἐν πίστει προσπελάζουσι Πάτερ Παναγῆ ἀειμακάριστε.

Πολυεύσπλαχνε Κύριε, νῦν τοῖς οἰκτιρμοῖς Σου ἐπικαμπτόμενος, Παναγῆ θείαις δεήσεσι, δὸς ἡμῖν πταισμάτων Σῶτερ τὴν ἄφεσιν.

Θεοτοκίον.

Παναγία Θεόνυμφε, πάσης τρικυμίας ἡμᾶς διάσωσον πειρασμῶν καὶ περιστάσεων τοὺς εἰλικρινῶς σὲ μακαρίζοντας.

www.tezaurliturgic.ro

'Ωδὴ ε' «Ἵνα τί με ἀπώσω»

Μιμητὴς Ἀποστόλων καὶ ἱεροκήρυξ ὁμοῦ καὶ διδάσκαλος Παναγῆ ἐδείχθης, κεκτημένος σοφίαν πολύγλωσσον. Ὅθεν παρρησίᾳ, Χριστὸν ἐκήρυττες παμμάκαρ, Ὅν ἡμῖν εὐδιάλλακτον ποίησον.

Ἐκ θανάτου βεβαίου, ἐκ τῆς τρικυμίας θαλάσσης διέσωσας ἀδελφῶν δυάδα, σαῖς εὐχαῖς Παναγῆ πρὸς τὸν Κύριον, οἵτινες ἐν πίστει ἐπεκαλέσαντο παμμάκαρ τὸ σεβάσμιον θεῖον σου ὄνομα.

Ἐντολῶν τοῦ Κυρίου πληρωτὴς ἀνεδείχθης πάτερ τρισόλβιε καὶ παραμυθία θλιβομένων καὶ θεία διόρθωσις τῶν ἁμαρτανόντων καὶ ὁδηγὸς πεπλανημένων, διὸ σῶσον ἡμᾶς ταῖς πρεσβείαις του.

Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων θλίψεων καὶ νόσων ἡμᾶς διαφύλαξον, Παναγία Κόρη, τοὺς εἰς σὲ Θεοτόκε ἐλπίζοντας καὶ τῆς βασιλείας τοῦ Σοῦ Υἱοῦ ἀξιωθῆναι καταξίωσον θείαις πρεσβείαις Σου.

'Ωδὴ στ' «Ἱλάσθητί μοι Σωτὴρ»

Αἱ ψόαι μου ἀληθῶς, νῦν ἐμπαιγμάτων ἐπλήθησαν καὶ τῇ νοσούσῃ ψυχῇ οὐκ ἔστι μοι ἴασις, ταύτην μοι χορήγησον, Παναγῆ τρισμάκαρ ἱκεσίαις σου πρὸς Κύριον.

Ἡ θεία σου μὲν ψυχὴ χοροῖς ἀγγέλων ἀγάλλεται, τὰ λείψανα δὲ ἐν γῇ ἰάσεις προχέουσι, τοῖς πίστει προστρέχουσι Παναγῆ τρισμάκαρ ἱερέων ἐγκαλλώπισμα.

www.tezaurliturgic.ro



Διάσωσον σαῖς εὐχαῖς, ὦ Παναγῆ θεοτίμητε, τοὺς ἐν θαλάσσῃ μακρὰν σοφὲ κινδυνεύοντας, γαλήνην δωρούμενος καὶ πρὸς σωτηρίας νῦν λιμένας ἐγκαθόρμησον.

Θεοτοκίον.

Παρθένε μήτηρ Θεοῦ, παρθενευόντων τὸ καύχημα, τὸν Σὸν Υἱόν, ἀγαθή, μὴ παύσῃ πρεσβεύουσα, ρυσθῆναι τοὺς δούλους σου, πάσης τιμωρίας καὶ πυρὸς διαιωνίζοντος.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου θεοφόρε, τοὺς ἐν πίστει εἰλικρινῆ πρὸς σὲ καταφεύγοντας καὶ πλήρωσον Παναγῆ τὰς αἰτήσεις.

Πανύμνητε εὐλογημένη καὶ ἄχραντε Παναγία, τὰς δεήσεις σῶν ἱκετῶν Κυρίῳ προσάγαγε καὶ αἴτησαι εἰρηνεῦσαι τὸν κόσμον.

Αἴτησις παρὰ τοῦ Ἱερέως καὶ τὸ Κοντάκιον

Ἦχος γ' «Ἡ Παρθένος σήμερον»

Θησαυρὸν ἀσύλητον, καὶ ποταμὸν ἰαμάτων, τὴν σορόν σου Ἅγιε τῶν σεβασμίων λειψάνων, ἔχουσα ἡ πόλις πάτερ τοῦ Ληξουρίου, σώζεται παντοίας βλάβης καὶ νοσημάτων καὶ οὐ παύεται βοῶσα, χαίροις τὸ κλέος ἐμοῦ καὶ διάσωσμα.

Εἶτα τὸ Α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ εὐθὺς τὸ προκείμενον.

Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην
καὶ οἱ Ὅσιοι Σου ἀγαλλιάσονται.

Στίχ. Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ

www.tezaurliturgic.ro

Εὐαγγέλιον

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἐλεῆμον, ἐλέησον με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου... καὶ τὸ παρὸν ἰδιόμελον

Ἦχος πλ. β′ «Ὅλην ἀποθέμενοι»

Παναγῆ μακάριε, Ὀρθοδοξίας τὸ κλέος, Ἱερέων σέμνωμα, ἀρετῶν ὑπόδειγμα καὶ σεμνότητος, Πνεύματος ὄργανον καὶ ναὸς πανόλβιε τῆς Τριάδος ἀναδέδειξαι, βίον ἰσάγγελον μάκαρ ἐπὶ γῆς ἐνδειξάμενος, καὶ νῦν σὲ ἱκετεύομεν πάτερ Παναγῆ οἱ ἀνάξιοι, πρέσβευε ρυσθῆναι παντοίων περιστάσεων ἡμᾶς, ἐκ πειρασμῶν καὶ κακώσεων καὶ δεινῆς αἱρέσεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ′ «Παῖδες Ἑβραίων ἐν καμίνῳ»

Ὅλον σαυτὸν καθαγιάσας, τῶν τοῦ Πνεύματος χαρίτων ἠξιώθης, τοῦ προλέγειν σοφὲ μελλόντων τὰς ἐκβάσεις, καὶ νῦν ἡμῶν ἁγίασον τὰς ψυχὰς τῶν σὲ ὑμνούντων.

Χαίρει ἡ πόλις Ληξουρίου, νῦν κατέχουσα τὰ θεῖα λείψανά σου, ἐξ ὧν βρύει ἀεὶ θαυμάτων πάτερ ρεῖθρα, ὅθεν δοξάζει Κύριον τὸν δοξάσαντά σε μάκαρ.

Πλήρης προρρήσεων ὑπάρχων τούς τε ἅρπαγας ὁμοῦ καὶ ἀδικοῦντας ἐπετίμας σφοδρῶς καὶ θείαις νουθεσίαις ἐστήριζες πρὸς Κύριον, Ὃν ὑπὲρ ἡμῶν δυσώπει.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε ἡ κυήσασα χαρὰν τῇ οἰκουμένῃ τὸν Δεσπότην Χριστόν, Οὗ τῆς χαρᾶς Παρθένε, εὐχαῖς σου καταξίωσον τοὺς πιστῶς σε προσκυνοῦντας.

Ὠδὴ η΄ «Τὸν ἐν ὄρει ἁγίῳ»

Προφητείαις τὴν χάριν κεκτημένος, τῶν ἀνθρώπων σοφὲ ἐξαγορευομένων, τὰς ἁμαρτίας τούτων προεγίνωσκες καὶ μετανοοῦντες ἐσώζοντο εὐχαῖς σου, ἃς καὶ ὑμῖν παράσχου.

Διανύσας τὸν βίον θεαρέστως καὶ τηρήσας σοφὲ ὀρθόδοξον τὴν πίστιν, πρὸς τὸν Θεὸν μετῆρες, Ὃν ἱκέτευε τὴν Ὀρθοδοξίαν μάκαρ κηρυχθῆναι εἰς ἅπαντα τὸν κόσμον.

Τῇ εὑρέσει τῶν θείων σου λειψάνων, ἐπληρώθη σοφὲ χαρᾶς καὶ εὐφροσύνης τῶν χριστωνύμων Παναγῆ τὸ πλήρωμα, ὅθεν δυσωπῶ σε τῆς ἐπουρανίου χαρᾶς ἀξίωσόν με.

Θεοτοκίον.

Ἱκεσίαις μητρός σου τῆς πανάγνου, πανοικτίρμων Χριστὲ καὶ Παναγῆ τοῦ θείου, τὴν σὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου, ἐν ταῖς Ἐκκλησίαις καὶ ἀνθρώποις πᾶσι τοῖς σὲ ἀνευφημοῦσι.

Ὠδὴ Θ΄ «Κυρίως Θεοτόκε»

Παράσχου εὐλογίαν, πίστιν καὶ ἀγάπην, σαῖς πρὸς Θεὸν ἱκεσίαις κλεινὲ Παναγῆ, τοῖς εὐλαβείᾳ καὶ πόθῳ σὲ λιτανεύουσι.

www.tezaurliturgic.ro

Σεισμοῦ καὶ πάσης βλάβης καὶ ἐξ ἀνιάτων παθῶν καὶ νόσων ρυσθῆναι σοφὲ Παναγῆ, τὴν σὴν γενέτειραν νῆσον Χριστὸν ἱκέτευε.

Λιταῖς Τριὰς Ἁγία, τῶν τριῶν Ὁσίων τοῦ Γερασίμου, Ἀνθίμου καὶ τοῦ Παναγῆ, τῆς βασιλείας Σου πάντας ἡμᾶς ἀξίωσον.

Θεοτοκίον.

Φωνῇ τοῦ Ἀργαγγέλου, Πάναγνε Παρθένε, τὸν Θεὸν Λόγον γαστρὶ σου συνέλαβες νῦν τὰς φωνὰς ἡμῶν μῆτερ τούτῳ προσάγαγε.

Καὶ εὐθὺς τὸ «Ἄξιον ἐστὶν ὡς ἀληθῶς»

Τὸν τοῦ Ληξουρίου γόνον λαμπρόν, ὀρθοδόξων κλέος, Ἱερέων ὑπογραμμόν, τῆς Κεφαλληνίας ἀγλάϊσμα τὸ νέον τὸν Παναγῆν τὸν θεῖον ὕμνοις τιμήσωμεν.

Χαίροις Ἱερέων ἡ καλλονή, τῆς Ὀρθοδοξίας ὁ γενναῖος προασπιστής, χαίροις Ἐκκλησίας τὸ σέμνωμα καὶ κλέος, ὦ Παναγῆ τρισμάκαρ πιστῶν τὸ καύχημα.

Τὸν τῆς εὐσεβείας θεῖον πυρσὸν καὶ Ὀρθοδοξίας τὸν διδάσκαλον τὸν σοφόν, τὸν τῆς προφητείας τὴν χάριν δεδεγμένον, τὸν Παναγῆν τὸν θεῖον ἄσμασι μέλψωμεν.

Χαίροις τῶν Ὁσίων σεπτὴ τριάς, Γεράσιμε πάτερ καὶ πανόλβιε Παναγῆ, ἅμα σὺν Ἀνθίμῳ ἡμῶν οἱ πολιοῦχοι πρεσβεύσατε Κυρίῳ σωθῆναι ἅπαντας.

Ἀνακομιδὴν σου τῶν ἱερῶν, Παναγῆ λειψάνων, ἐποιήσατο μεθ' ἡμῶν, Θεοῦ ἐπινεύσει καὶ πόθῳ εὐλαβείας ἡμῶν ὁ Ποιμενάρχης πατὴρ Προκόπιος.

www.tezaurliturgic.ro



Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τρισάγιον. Παναγία Τριάς.

Πάτερ ἡμῶν,

Ὅτι σοῦ ἐστίν.

Ἀπόλυσις.

Εἰς τὸ τέλος τῆς Παρακλήσεως.

Ἐξαποστειλάρια.

Ἦχος γ' «Ὁ οὐρανὸς τοῖς ἄστροις»

Ἱεροκήρυξ τοῦ Λόγου, ἁμαρτανόντων ὁδηγός, τῶν πενομένων προστάτης, τῆς παρθενίας ἐραστὴς καὶ τῶν μελλόντων προγνώστης ὢ Παναγῆ ἀνεδείχθης.

Ἡ σεβασμία σου θήκη, τῶν ἱερῶν σου λειψάνων βρύει ἰάσεων ρεῖθρα, τοῖς εὐλαβῶς προσιοῦσι, ὢ Παναγῆ Θεοφόρε, διὸ σὲ ἀνευφημοῦμεν.

Ἡ πόλις τοῦ Ληξουρίου καὶ πᾶσα Ὀρθοδοξία, ἐπλήσθησαν εὐφροσύνης καὶ οὐρανίου χαρμονῆς τῇ τῶν λειψάνων εὑρέσει, σοῦ Παναγῆ θεοφόρε.

Ἡ τῶν ἁγίων ἁγία, τῶν Χερουβεὶμ ὑπερτέρα, ἡ χρυσοποίκιλτος στάμνος τὸ μάννα φέρουσα Χριστόν, ὢ Παναγία παρθένε ἡμῖν ἱλέωσαι Τοῦτον.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν...

www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ

## ΕΙΣ ΤΟΝ ΑΓ. ΠΑΝΑΓΗΝ ΤΟΝ (ΜΠΑΣΙΑΝ)

### ΣΤΑΣΙΣ ΠΡΩΤΗ

**Μ**ακαρίζομέν σε Παναγῆ εὐσεβῶς,
Ληξουρίου τὸ νεόλεκτον καύχημα
καὶ μεσίτην συμπαθῆ πρὸς τὸν Θεόν.

**Μ**ακαρίζομέν σε ἐν ἀσμάτων ᾠδαῖς
Ἱερέων τὸ περίβλεπτον σέμνωμα
καὶ σεβάσμιον Κυρίου λειτουργόν.

Ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον.

**Ἀ**νεσπέρου πάτερ καὶ ἀΰλου φωτὸς
ὢν ἀνάπλεως τὸν νοῦν μου καταύγασον
σοῦ τὸν βίον ἀνυμνῆσαι Παναγῆ.

**Β**ακτηρίᾳ μάκαρ, τοῦ Σταυροῦ στηριχθείς
τῶν δαιμόνων ἐτροπώσω τὰς φάλαγγας,
νικηφόρος ἀνελθὼν εἰς οὐρανούς.

**Γ**ένους περιφήμου καὶ γονέων λαμπρῶν,
ἐκλεκτὸς γόνος ὑπάρχων ἠγάπησας
τὴν πτωχείαν τοῦ Δεσπότου καὶ Θεοῦ.

**Δ**όλους τῶν δαιμόνων καὶ ἐνέδρας σοφέ,
ὡς ἱστὸν ἀράχνης πάτερ διέλυσας,
τῇ δυνάμει τοῦ Θεοῦ ἐνισχυθείς.

www.tezaurliturgic.ro


**Ἐ**λεημοσύνης ἀνεδείχθης πηγή,
καὶ ναμάτων σου ροαῖς κατεδρόσισας
πενομένων τὰς καρδίας πολλαπλῶς.

**Ζ**ῶντα τροφοδότην εἶχον σε οἱ πτωχοὶ
μεταστάντα δὲ κεκτήμεθα ἅπαντες
πλουσιόδωρον ποικίλων δωρεῶν.

**Ἡ** Κεφαλληνία σὺν τοῖς ἄλλοις δυσὶ
κεκτημένη σε ἁγίοις, ἀγάλλεται
Παναγῆ θαυματοφόρε καὶ ἐν σοί.

**Θ**είαις θεωρείαις ἐλλαμφθεὶς τὴν ψυχὴν
τῶν προσκαίρων Παναγῆ κατεφρόνησας
ἀπαθείας ἐνδυσάμενος στολήν.

**Ἱ**ερέων δῆμος, φιλεόρτων πληθύς,
μεγαλύνομεν τὴν μνήμην τὴν πάμφωτον
τοῦ ὁσίου Ἱερέως Παναγῆ.

**Κ**αθαρὸν δοχεῖον Παναγῆ γεγονὸς
τῆς σεπτῆς καὶ τρισηλίου Θεότητος
ἐπλουτίσθης οὐρανίων δωρεῶν.

**Λ**ηξουρίου πόλις ἐγκαυχᾶται τρανῶς
καὶ σεμνύνεται ἐν κόλποις κατέχουσα
τῶν λειψάνων σου τὴν πάντιμον σορόν.

**Μ**ακαρίας πάτερ καὶ ἀλήκτου χαρᾶς
ἠξιώθης Παναγῆ καὶ λαμπρότητος,
ἧς ἀξίωσον εὐχαῖς σου καὶ ἡμᾶς.

www.tezaurliturgic.ro

**Ν**έος Θεοφόρε, τῷ Δεσπότῃ Χριστῷ
ἀνετέθης Παναγῆ πανσεβάσμιε
καὶ προθύμως ἠκολούθησας Αὐτῷ.

**Ξ**ένος ὢν τοῦ κόσμου, ἔτι σάρκα φορῶν,
καθηράμενος τὸν νοῦν κατηξίωσαι
οὐρανίων μυστικῶν θεωριῶν.

**Ὁ**λονύκτοις πάτερ καὶ συντόνοις εὐχαῖς,
ταπεινότητι καρδίας καὶ δάκρυσι,
εὐηρέστησας μεγάλως τῷ Θεῷ.

**Π**ορευθεὶς μονᾶσαι, ἐν νησίδι Διὸς
οὐ περέμεινας καμφθεὶς παρακλήσεσι
τῆς μητρὸς καὶ ἀδελφῆς σου Παναγῆ.

**Ρ**ῦσαι θεοφόρε, Παναγῆ συμφορῶν
ἐκ παντοίων πειρασμῶν καὶ κακώσεων
τοὺς προστρέχοντας τῇ σκέπῃ σου θερμῶς.

**Σ**ῶσον ἡμᾶς σῶσον ἱκεσίαις Χριστὲ
**τ**οῦ ὁσίου Γερασίμου μακρόθυμε
τοῦ Ἀνθίμου καὶ τοῦ θείου Παναγῆ.

**Τ**άφον σου τὸν θεῖον Ληξουρίου ἡ γῆ
νῦν κατέχουσα λυτροῦται ἑκάστοτε
περιστάσεων παντοίων Παναγῆ.

**Ὑ**ετῷ ραγδαίῳ, ἐν χειμῶνι καιρῷ,
πορευόμενος οὐδόλως μακάριε
οὐκ ὑγράνθης, θείᾳ χάριτι, σοφέ

www.tezaurliturgic.ro


**Φ**ρυκτωρίαις θείαις ἐλλαμφθεὶς τὴν ψυχὴν
τῶν μελλόντων προορᾶν κατηξίωσαι
ὑπὸ πάντων θαυμαζόμενος σοφέ.

**Χ**ορηγεῖς ἀφθόνως, τὰς ἰάσεις σοφὲ
τοῖς προστρέχουσι τοῖς θείοις λειψάνοις σου
καὶ τιμῶσι σε θεόφρον Παναγῆ.

**Ψ**αλμικῶς ἐξῆλθε εἰς τὴν σύμπασαν γῆν
τῶν ἁγίων σου ρημάτων ὁ ἔπαινος
καὶ τῶν θείων ἀρετῶν σου Παναγῆ.

**Ὡ**ς δορκὰς δρομαία, πανταχοῦ Παναγῆ
καὶ ἐν πάσῃ περιστάσει προσέτρεχες
βοηθὸς πᾶσι γενόμενος θερμός.

Δόξα Πατρί...

**Δ**έχου ἱκεσίαις, Παναγία Τριάς,
Παναγῆ τοῦ ἐκλεκτοῦ σου θεράποντος
καὶ ἐλέησον τοὺς δούλους σου ἡμᾶς.

Καὶ νῦν...

**Ἡ** ἁγνὴ Παρθένος, ἡ τεκοῦσα Θεὸν
σὺν τῷ θείῳ Παναγῆ καθικέτευε
ὑπὲρ πάντων τῶν ὑμνούντων σε πιστῶς.

καὶ πάλιν τὸ πρῶτον

**Μ**ακαρίζομέν σε Παναγῆ εὐσεβῶς,
Ληξουρίου τὸν νεόλεκτον καύχημα
καὶ μεσίτην συμπαθῆ πρὸς τὸν Θεόν.

www.tezaurliturgic.ro

**Ε**ἶτα συναπτὴ μικρὰ καὶ ἡ ἐκφώνησις.
Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύῃ...

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

**Ἄ**ξιόν ἐστί, τὸν φωστῆρα τῆς Ὀρθοδοξίας
καὶ πιστῶν τὸ νέον θησαύρισμα,
μεγαλύνειν σε τρισμάκαρ Παναγῆ.

**Ἄ**ξιόν ἐστί, τοῦ Δεσπότου τὸν ἱερομύστην,
στέφειν ἐγκωμίων τοῖς ἄνθεσι
καὶ γεραίρειν ὑμνωδίαις εὐλαβῶς.

Ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον

**Ἄ**δει σὺν ἡμῖν καὶ δοξάζει σου τὴν θείαν μνήμην
πλήθη ἀσωμάτων δυνάμεων
θεοτίμητε τρισμάκαρ Παναγῆ.

**Β**άσις ἀσφαλής, τοῦ Χριστοῦ τῆς Ἐκκλησίας ὤφθης
ἐν καιροῖς ἐσχάτοις πανεύφημε,
ἣν ἀσάλευτον συντήρει σαῖς εὐχαῖς.

**Γ**έρα ἐκ Θεοῦ μάκαρ ἤλειφας ὄντως ἀξίως
πᾶσι χορηγεῖν τὰ ἰάματα
τοῖς τιμῶσι σε θεόφρον Παναγῆ.

**Δ**όξης ἀκραιφνοῦς ἠξιώθης καὶ ἀθανασίας
τῷ Χριστῷ δουλεύσας μακάριε
καὶ τηρήσας τὰς ἐκείνου ἐντολάς.

www.tezaurliturgic.ro

**Ἔ**χοντες θερμὸν σὲ εὐπρόσδεκτον πρὸς τὸν Δεσπότην
Παναγῆ μεσίτην λυτρούμεθα
περιστάσεων παντοίων καὶ δεινῶν.

**Ζ**ήσας εὐσεβῶς, πάτερ τίμιε καὶ θεαρέστως
χαίρων Παναγῆ μεταβέβηκας
πρὸς τὴν ἄληκτον καὶ ἄφραστον ζωήν.

**Η**ὔξησας τρανῶς τὸ δοθέν σοι ὑπὸ τοῦ Κυρίου
τάλαντον δι' ὅπερ ἀκήκοας
δεῦρο δοῦλε εἰς τὴν θείαν χαρμονήν.

**Θ**έατρον σοφὲ τοῖς ἀγγέλοις καὶ ἀνθρώποις πάτερ
γέγονας κερδῆσαι τοὺς ἅπαντας
καὶ προσάξαι σεσωσμένους τῷ Χριστῷ.

**Ἴ**δε πατρικῶς οὐρανόθεν Παναγῆ παμμάκαρ
ἐφ' ἡμᾶς τὰ τέκνα σου Ἅγιε
καὶ εὐλόγησον σοφὲ υἱοπρεπῶς.

**Κ**αύχημα σεπτὸν καὶ ἀγλάϊσμα τῆς Ἐκκλησίας
πάτερ Παναγῆ ἀναδέδειξαι
τῷ Θεῷ εὐαρεστήσας πολλαπλῶς.

**Λ**άρνακα τὴν σὴν τῶν ἁγίων σου σεπτῶν λειψάνων
νῦν περικυκλοῦντες δεόμεθα
ρῦσαι πάντας ἐκ κινδύνων σαῖς λιταῖς.

**Μ**ακάριος εἶ τὴν στενὴν καὶ τεθλιμμένην τρίβον
τοῦ Χριστοῦ ὁδεύσας πανόλβιε
τὴν μετάγουσαν ἐκ γῆς πρὸς οὐρανόν.

www.tezaurliturgic.ro

**Ν**έος ἀληθῶς φωστὴρ ἤστραψας τῇ οἰκουμένῃ
ταῖς τῶν ἀρετῶν σου πυρσεύμασι
καταυγάζων καὶ φωτίζων τοὺς πιστούς.

**Ξ**ύλον εὐθαλὲς ἀγλαόκαρπον πάτερ ἐδείχθης
οἴκῳ φυτευθεὶς τοῦ Θεοῦ ἡμῶν
καὶ ἐβλάστησας καρποὺς θεοτερπεῖς.

**Ὅ**λον σεαυτὸν τῷ Χριστῷ ἀφιερώσας μάκαρ
ἴχνεσι ἐκείνου ἐβάδισας
διὸ δόξης ἠξιώθης ἀκραιφνοῦς.

**Π**λήρης ἡμερῶν, πλήρης ἔργων ἀγαθῶν παμμάκαρ
χαίρων ἐπορεύθης πρὸς Κύριον
τὰ βραβεῖα κομισθῆναι παρ᾽ αὐτοῦ.

**Ρ**ῶσιν ἀληθῆ εὐρωστίαν καὶ ὑγείαν μάκαρ
δώρησαι τοῖς πίστει προστρέχουσι
τῷ σεπτῷ Ναῷ σου πάτερ Παναγῆ.

**Σ**τίφη τῶν πιστῶν καὶ ἀγγέλων αἱ ταξιαρχίαι
πάτερ καθορῶσαι ἐξίσταντο
τὸν ἐνάρετόν σου βίον Παναγῆ.

**Τ**άφῳ σου σεπτῷ νῦν προστρέχοντες μετ᾽ εὐλαβείας
οἱ ἐν ἀσθενείαις τρυχόμενοι
τὰς ἰάσεις ἐπαντλοῦσι δωρεάν.

**Ὕ**μνον ἱερὸν καὶ παννύχιον προσάδωμέν σοι
πάτερ Παναγῆ θεοτίμητε
ἑορτάζοντες τὴν μνήμην σου λαμπρῶς.

www.tezaurliturgic.ro


**Φ**έγγει ἀρετῶν ἐλλαμπόμενος τίμιε πάτερ
καὶ τῷ τριλαμπεῖ φωτὶ παριστάμενος
ἐκδυσώπει φωτισθῆναι καὶ ἡμᾶς.

**Χ**αίρει νῦν φαιδρῶς πάτερ νῆσος ἡ Κεφαλληνία
πρέσβυν σὲ πλουτοῦσα πρὸς Κύριον
ἣν διάσωζε μανίας τῶν σεισμῶν.

**Ψ**άλλων νοερῶς τὸν τρισάγιον σὺν τοῖς ἁγίοις
κύκλῳ τῆς Τριάδος ἱστάμενοι
δυσωπεῖτε διαζώζεσθαι ἡμᾶς.

**Ὥ**σπερ Ἀαρὼν λειτουργήσας τῷ Θεῷ ἀμέμπτως
τῶν χαρίτων Τούτου ἠξίωσαι
προορᾶν καὶ προγινώσκειν τὰ μακράν.

Δόξα Πατρί...

**Ἄ**ναρχε Τριὰς ἀκατάληπτε κυριαρχία
πίστιν τὴν Ὀρθόδοξον κράτυνον
παρακλήσεσι τοῦ Θείου Παναγῆ.

Καὶ νῦν...

**Δ**έσποινα σεμνὴ ἡ τεκοῦσα τὸν Θεὸν ἀφράστως
Τοῦτον καθικέτευε πάντοτε
ἵνα ρύσηται ἡμᾶς πάσης ὀργῆς.

καὶ πάλιν τὸ πρῶτον

**Ἄ**ξιον ἐστὶ τὸν φωστῆρα τῆς Ὀρθοδοξίας
καὶ πιστῶν τὸ νέον θησαύρισμα
μεγαλύνειν σε τρισμάκαρ Παναγῆ.

www.tezaurliturgic.ro

Εἶτα συναπτὴ μικρὰ καὶ ἡ ἐκφώνησις

**Ε**ἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον...

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ

**Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, ὦ Παναγῆ Θεόφρον.

**Α**ἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε τὸν λειτουργὸν Κυρίου

Ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον

**Ἄ**ξιος ἐγένου λειτουργὸς Κυρίου διὸ ἐθαυμαστώθης.

**Β**ιώσας, ἐναρέτως, Παναγῆ τρισμάκαρ, χαρίτων ἠξιώθης.

**Γ**έρα ἐκ Κυρίου, Παναγῆ ἐδέξω, ἐπάξια τῶν ἔργων.

**Δ**έχου τὰς δεήσεις, τῶν σὲ παρακαλούντων, ὦ Παναγῆ τρισμάκαρ.

**Ε**ὐλόγησον ἐξ ὕψους, τὰ τέκνα σου παμμάκαρ υἱοπρεπῶς αἰτοῦμεν.

**Ζ**ῆς εἰς τοὺς αἰῶνας, δικαίως πάτερ ζήσας ἐν τῷ παρόντι βίῳ.

**Ἥ**ρως γενναιόφρων, Παναγῆ ἐδείχθης, νικήσας τὸν βελίαρ.

**Θ**εῖον ἰατρεῖον, ὑπάρχει ὁ Ναός σου, τῶν πίστει εἰσιόντων.

**Ἱ**ερέων κλέος, καὶ σέμνωμα ὑπάρχεις, ἡμῶν δὲ ἀντιλήπτωρ.

www.tezaurliturgic.ro



**Κ**ύκλῳ παρεστῶτες τῶν θείων σου λειψάνων, ἀντλοῦμεν εὐλογίαν.

**Λ**υτρούμεθα κινδύνων καὶ πάσης ἄλλης βλάβης λιταῖς σου τῷ Κυρίῳ.

**Μ**έτοχος ἐγένου Χριστοῦ τῆς βασιλείας βιώσας θεαρέστως.

**Ν**ῦν οὐκ ἐν ἐσόπτρῳ ὁρᾷς τὸ θεῖον κάλλος, ἀλλὰ ἐν παρρησίᾳ.

**Ξ**ήρανον εὐχαῖς σου, αἱρέσεων χειμάρρους καὶ στήριξον τὴν πίστιν.

**Ὁ**λόκληρον τὸν βίον, εὐεργετῶν διῆλθες, ποιῶν ἀγάπης ἔργα.

**Π**αναγῆ πρεσβείαις, Ἀνθίμου, Γερασίμου, Χριστὲ σῶσον τὸν κόσμον.

**Ρ**ῦσαι σαῖς πρεσβείαις, τὸν κόσμον καὶ τὴν νῆσον, σεισμῶν καὶ πάσης βλάβης.

**Σ**ωτὴρ τῶν πλανωμένων, πενήτων προμηθεία, ὢ Παναγῆ ἐδείχθης.

**Τ**εραστίων πάτερ, χαρίτων καὶ θαυμάτων, θεὸς ἠξίωσέ σε.

**Ὑ**ετῷ ραγδαίῳ, περιπατῶν οὐδόλως, ὑγράνθης ἱματίοις.

**Φ**ωστὴρ Ὀρθοδοξίας, λαμπρὸς ἐναπεφάνθης, ἐν τοῖς ἐσχάτοις χρόνοις.

www.tezaurliturgic.ro

**Χ**αίρει Ληξουρίου, ἡ πόλις ἐκτελοῦσα, τὴν ἔνδοξόν σου μνήμην.

**Ψ**άλλοντες τοὺς ὕμνους σὲ παρακαλοῦμεν ἡμῶν μὴ ἐπιλάθῃ.

**Ὡ**ς δῶρα τῇ σεπτῇ Σου, ἑορτῇ προσφέρω ἀρώματα καὶ μύρα.

Δόξα Πατρί...

**Ε**ἰρήνευσον τὸν κόσμον Ἄναξ τῆς εἰρήνης, λιταῖς τοῦ

**Σ**οῦ Ὁσίου.

Καὶ νῦν.

**Π**αρθένε τὸν Υἱόν σου, σὺν Παναγῇ τῷ θείῳ ὑπὲρ ἡμῶν δυσώπει.

καὶ πάλιν τὸ πρῶτον

**Α**ἱ γενεαὶ πᾶσαι μακαρίζομεν σε, ὦ Παναγῆ τρισμάκαρ

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς τῆς εἰρήνης...

## ΕΥΛΟΓΗΤΑΡΙΑ

**Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὸν λειτουργόν σου μέλψαι.

Τῶν ἀγγέλων αἱ τάξεις, Παναγῆ θεηγόρε, τὴν ὁσίαν ψυχήν σου, κοιμηθέντος σου σοφέ, τὸν μακάριον ὕπνον εἰς τοὺς οὐρανοὺς πρὸς Χριστὸν ἀνήγαγον, Ὃν ἀεὶ δυσώπει ὑπὲρ τῆς ποίμνης σου.

www.tezaurliturgic.ro


Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὸν Παναγῆν ὑμνῆσαι.

Κοιμηθέντος σου σοφέ, μετὰ θρήνων κηδεύει ὀρθοδόξων τὸ πλῆθος τῇ σεπτῇ δὲ ἐκταφῇ τῶν σεπτῶν σου λειψάνων, θείας χαρμονῆς Παναγῆ πεπλήρωται, ἧς εὐχαῖς σου πάτερ ἡμᾶς ἀξίωσον.

Εὐλογητὸς εἶ, Κύριε δίδαξόν με τὸν λειτουργὸν σου ᾆσαι.

Λίαν θερμῶς τοῦ Χριστοῦ τοῖς ἴχνεσι ἠκολούθησας ἱερομῦστα, καὶ τελέσας τὴν ὁδόν, καὶ τὴν πίστιν τηρήσας, γέρα ἐκ Θεοῦ ἐκομίσω ἅγιε, Ὃν δυσώπει δοῦναι ἡμῖν συγχώρησιν.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὸν Παναγῆν δοξᾶσαι.

Μυροθήκη ὑπάρχει ἡ τιμία σου λάρναξ τῶν ἁγίων λειψάνων εὐωδίαν μυστικὴν ἀποπνέουσα πάτερ, χάριτι Χριστοῦ. Ὃν θερμῶς ἱκέτευε δυσωδίας πάντας παθῶν λυτρώσασθαι.

Δόξα Πατρί...

Τὴν ἁγίαν Τριάδα προσκυνήσωμεν πάντες οἱ πιστοὶ ὁμοφρόνως Ἣν ὑμνοῦσι Στρατιαὶ οὐρανίων ταγμάτων, ὅθεν σὺν αὐτοῖς φόβῳ ἀναμέλψωμεν, ἅγιος, ἅγιος, ἅγιος εἶ Κύριε.

Καὶ νῦν...

Παναγία Παρθένε ἡ ἐλπὶς ἡ βεβαία, τῶν εἰς σὲ προστρεχόντων, τὸν Υἱόν σου καὶ Θεὸν δυσωποῦσα

 www.tezaurliturgic.ro

μὴ παύσῃ, δοῦναι ἱλασμὸν ὀφλημάτων Πάναγνε, τοῖς ἐν σοὶ Παρθένε πιστῶς ἐλπίζουσι.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι ὁ Θεός. (γ)

Αἴτησις καὶ ἡ Ἐκφώνησις. Ὅτι εὐλόγηται...

Δίστιχον

**Δέχου εὐμενῶς Παναγῆ πενιχροὺς ὕμνους**
**Πολυκάρπου Κόμη ἐλαχίστου Λευΐτου**

ΤΩ ΘΕΩ ΔΟΞΑ

